## ιβʹ. ἀπὸ τοῦ πρὸς εὐδαιμονίαν φέρειν φιλοσοφίαν τε– λέως καὶ ἀληθῶς ἔφοδος εἰς προτροπὴν τοῦ φιλοσοφεῖν τελέαν καὶ ἀνυσιμωτάτην

———————————————————————————————— **[4.21-23]**

4.23 τελέαν F (folio 62[b])] τελεως F (folio 47[a])

εἰ δὲ δεῖ μὴ μόνον ἀπὸ τῶν μερῶν τοῦτο 59.19
συλλογίσασθαι, ἀλλὰ καὶ ἀπὸ τῆς ὅλης εὐδαιμονίας ἄνω–
θεν τὸ αὐτὸ κατασκευάσαι, λέγωμεν διαρρήδην ὅτι δὴ 59.21
ὡς ἔχει πρὸς εὐδαιμονίαν τὸ φιλοσοφεῖν, οὕτω καὶ πρὸς
τὸ σπουδαῖον ἡμῖν ἢ φαῦλον εἶναι αὐτὸ διακεῖσθαι.
† πάντα γὰρ τὰ μὲν πρὸς τοῦτο τὰ δὲ διὰ τοῦτο πᾶσιν 59.24
<u>αἱρετέον / εἶναι</u>, καὶ τὰ μὲν ὡς ἀναγκαῖα τῶν πραγμά– **<...αἱρετέον>**
των τὰ δὲ ἡδέα δι' ὧν εὐδαιμονοῦμεν .† οὐκοῦν τὴν
εὐδαιμονίαν τιθέμεθα ἤτοι φρόνησιν εἶναι καί τινα 59.27
σοφίαν ἢ τὴν ἀρετὴν ἢ τὸ μάλιστα χαίρειν <u>/ πάντα</u> **<ἢ> πάντα**
ταῦτα. οὐκοῦν εἴτε φρόνησίς ἐστι, φανερὸν ὅτι μόνοις 60.1
ἂν ὑπάρχοι τοῖς φιλοσόφοις τὸ ζῆν εὐδαιμόνως, εἴτε
ἀρετὴ ψυχῆς ἢ τὸ χαίρειν, κἂν οὕτως ἢ μόνοις ἢ
μάλιστα πάντων· ἀρετὴ γάρ ἐστι τὸ κυριώτατον τῶν 60.4
ἐν ἡμῖν, ἥδιστόν τε πάντων ἐστὶν ὡς ἓν πρὸς ἓν ἡ
φρόνησις· ὁμοίως δὲ κἂν ταῦτα πάντα ταὐτὰ φῇ τις 60.6
εἶναι τὴν εὐδαιμονίαν, ὁριστέον ἐστὶ <u>τὸ</u> φρονεῖν. ὥστε **τὸ] τῷ**
φιλοσοφητέον ἂν εἴη πᾶσι τοῖς δυναμένοις· ἢ γάρ τοι
τοῦτ' ἐστὶ τὸ τελέως εὖ ζῆν, ἢ μάλιστά γε πάντων ὡς 60.9
<u>ἓν εἰπεῖν</u> αἴτιον ταῖς ψυχαῖς. **ὡς ἓν <πρὸς ἓν> εἰπεῖν**

———————————————————————————————— **[59.19-60.10]**

**59.23** τὸ σπουδαίους ἡμᾶς ἢ φαύλους Düring ➔ || **25** αἱρετέον <… αἱρετέον> εἶναι DSH+MRJ; [εἶναι] Pistelli; αἱρε<τὰ φα>τέον εἶναι Vendruscolo ➔ || **26** <αἱρεῖσθαι> τὰ δὲ <ὡς> Gigon || **28** <ἢ> πάντα Vulcanius ➔ || **60.6-7** [ταῦτα] Vendruscolo; τῇ εὐδαιμονίᾳ Düring ➔ || **7** ὁριστέον] αἱρετέον Vulcanius; ἄριστόν Vendruscolo; τὸ] τῷ Ross ➔ || **8** τοι] τι R; {V} || **9-10** ὡς ἓν <πρὸς ἓν> εἰπεῖν DSH+MRJ ➔ || **10** αἴτιον <sc. τοῦ τελέως εὖ ζῆν> ταῖς ψυχαῖς Düring; αἴτιον <τούτου> ταῖς ψυχαῖς Gigon ➔

ἀλλ' ἐνταῦθα μὲν διὰ 60.10
τὸ παρὰ φύσιν ἴσως εἶναι τὸ γένος ἡμῶν χαλεπὸν τὸ
μανθάνειν τι καὶ σκοπεῖν ἐστι, καὶ μόλις αἰσθάνοιτο, 60.12
διὰ τὴν ἀφυΐαν καὶ τὴν παρὰ φύσιν ζωήν· ἂν δέ
ποτε δυνηθῶμεν σωθῆναι πάλιν ὅθεν ἐληλύθαμεν, δῆ–
λον ὡς ἥδιον καὶ ῥᾷον αὐτὸ ποιήσομεν πάντες. νῦν 60.15
μὲν γὰρ ἀφειμένοι τῶν ἀγαθῶν διατελοῦμεν πράττον–
τες τὰ ἀναγκαῖα, καὶ μάλιστα πάντων οἱ μάλιστα μα–
κάριοι δοκοῦντες εἶναι τοῖς πολλοῖς· ἐὰν δὲ τῆς οὐρα– 60.18
νίας ὁδοῦ λαβώμεθα καὶ ἐπὶ τὸ σύνομον ἄστρον τὴν **σύννομον**

ζωὴν τὴν ἑαυτῶν ἀπερείσωμεν, τότε φιλοσοφήσομεν 60.20
ζῶντες ἀληθῶς καὶ θεώμενοι θεωρίας ἀμηχάνους τὸ
κάλλος, ἀτενίζοντες τῇ ψυχῇ πρὸς τὴν ἀλήθειαν ἀρα–
ρότως καὶ θεώμενοι τὴν τῶν θεῶν ἀρχήν, εὐφραινό– 60.23
μενοι καὶ χαίροντες συνεχῶς ἀπὸ τοῦ θεωρεῖν, ἡδόμενοι
χωρὶς πάσης λύπης. οὕτως οὖν ἐπιόντες εἰς πᾶσαν 61.1
εὐδαιμονίαν εὑρίσκομεν ἡμῖν συμβαλλόμενον τὸ φιλο–
σοφεῖν· διόπερ αὐτοῦ ἀντιλαμβάνεσθαι ἄξιον ὡς σπου–
δαιοτάτου καὶ μάλιστα ἡμῖν προσήκοντος. 61.4

————————————————————————————— **[60.10-61.4]**

**60.12** [τι] L;{V} || **12** <ἂν> αἰσθάνοιτο Pistelli; αἰσθάνοιτο <τις τῆς ἀληθείας> Gigon || **13** ἂν] εαν L || **19** ἐπὶ] περι L; ἐπὶ, with περι superscript R; {V} || **19** σύν<ν>ομον Arcerius ➔ || **22** την ψυχην R